www.tezaurliturgic.ro

# ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΕΝ ΤΩ ΜΗΝΑΙΩ ΑΚΟΛΟΥΘΙΑΣ ΤΟΥ ΑΓΙΟΥ & ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ

# ΛΟΥΚΑ,

## ΤΟΥ ΙΑΤΡΟΥ & ΖΩΓΡΑΦΟΥ

(Οὗ ἡ μνήμη τῇ 18ῃ ᾿Οκτωβρίου)

* 1992 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ & ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΛΟΥΚΑ ΤΟΥ ΙΑΤΡΟΥ

* * *

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Στιχηρὰ προσόμοια. Ἦχος δ΄. Ὁ ἐξ ὑψίστου κληθείς.*

Δεῦτε ἐν ὕμνοις, Χριστοῦ ἡ Ἐκκλησία, Λουκᾶν εὐφημήσωμεν, τὸν ἰατρὸν τῶν ψυχῶν, καὶ τῶν σωμάτων γενόμενον, Εὐαγγελίου, τρίτου συνθέτην τὸν γλαφυρότατον, τοῦ Παύλου συνέκδημον, καὶ μύστην ἄριστον, τῶν Ἀποστόλων συγγράψαντα, ἐν ἀκριβείᾳ, Πράξεις τὰς θείας καὶ περιόδους τε· ὅθεν βοῶντες τούτῳ εἴπωμεν, ἱκετεύων μὴ παύσῃ ἀπόστολε, ὑπὲρ τῶν ἀνυμνούντων, σὴν σεβάσμιον πανήγυριν.

Γνῶσιν τοῦ κόσμου Λουκᾶ ἐκμυκτηρίσας, Σταυροῦ προετίμησας, μωρίαν πάνσοφον, καὶ Ἀναστάσεως γέγονας, κήρυξ πυρίπνους, κόσμον φωτίσας σοῖς θείοις φθέγμασι, διὸ καὶ φλεγόμενος τῇ ἀγαπήσει Χριστοῦ, γῆν καὶ θαλάσσας διέδραμες, φωνὴ τοῦ Λόγου, καὶ ὑπηρέτης φανεὶς πιστότατος· ὅθεν οἱ ὅσοι σῷ κηρύγματι, τῷ Κυρίῳ ἡρμόσθημεν κράζομεν· τὰς ψυχὰς ἡμῶν τήρει, τῇ φλογὶ τοῦ θείου Πνεύματος.

Τὴν ἐπιστήμην τῇ πίστει συγκεράσας, λαμπρὸν ἀφομοίωμα τοῦ φιλανθρώπου Χριστοῦ, Λουκᾶ ἐγένου καὶ ἄριστος, ἱερογράφος, τούτου συγγράψας τὴν συγκατάβασιν, τοὺς λόγους τὰ θαύματα καὶ τὰ παθήματα, δι' ὧν πιστοὶ ἐκτρεφόμεθα, καὶ θεῖον πόθον, ψυχαῖς ἀῤῥήτως ἐγκαταβάλλομεν· ὅθεν βοῶμεν ἀντιδώρως σοι· εὐαγγέλια ζῶντα ἀνάδειξον, τοὺς τιμῶντας σὴν μνήμην, τὴν πανίερον μακάριε.

Χρωματουργίας σεμνῆς διακονίας, Λουκᾶ πρῶτος γέγονας τῇ Ἐκκλησίᾳ Χριστοῦ, εἰσηγητὴς καὶ διδάσκαλος, τῆς Θεοτόκου, καθιστορήσας μορφὴν τὴν πάγκαλλον, ἐν ταύτῃ πιστούμενος, τὴν θείαν σάρκωσιν, καὶ καταβάλλων φρυάγματα, τῶν ἀρνουμένων, μίξιν βροτείαν μετὰ θεότητος, ὅθεν τιμῶντες ἐκτυπώματα, ἱερὰ νοερῶς ἀναγόμεθα, πρὸς τὸ ἄῤῥητον κάλλος, Θεανθρώπου Ὃν δοξάζομεν.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Τῶν ἀπ' ἀρχῆς καὶ ἄνωθεν παρηκολουθηκότων τὴν τοῦ Θεοῦ Λόγου συγκατάβασιν, Λουκᾶ πανεύφημε, ἀκριβὴς μύστης γεγονώς, τῇ Ἐκκλησίᾳ

ἀσφαλῶς παρέδωκας τὸ σεπτόν σου Εὐαγγέλιον. Ὃ κρατοῦντες καὶ ὑπὲρ τὰς μωσαϊκὰς πλάκας τοῦτο τιμιώτερον ἡγούμενοι, πρὸς ἐκμίμησιν τοῦ Δεσπότου Χριστοῦ ἀναγόμεθα, καὶ ζῆλον ἀποστολικὸν λαμβάνομεν τὰς θεοτυπώτους Πράξεις αὐτῶν ἀναγινώσκοντες, τὰς ὑπὲρ Κυρίου τελεσθείσας. Αὐτὸν ἱκέτευε, σωθῆναι τοὺς τιμῶντας τὴν μνήμην σου.

*Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.*

Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Καταξίωσον.

*Στιχηρὰ προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δεῦτε τὸν ἰατρόν, τοῦ Παύλου τοῦ θεόπτου, ἀγαπητὸν κληθέντα, Λουκᾶν ἐνθέοις ὕμνοις, τιμήσωμεν φιλέορτοι.

*Στίχ. Εἰς πᾶσαν τὴν γῆν...*

Σώματα καὶ ψυχάς, Λουκᾶ τῶν σὲ τιμώντων, ἐν ἀκλινεῖ ὑγείᾳ, συντήρησον εὐχαῖς σου, πρὸς τὸν Δεσπότην πάντοτε.

*Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...*

Ὄμβρισον ὦ Λουκᾶ, τὴν δρόσον Παρακλήτου, ὥς ποτε ἐκ σοῦ τάφου, κολλύρια ἐδίδως, τοῖς πόθῳ προσιοῦσί σοι.

*Δόξα. Ὅμοιον, Τριαδικόν.*

Δόξα σοι ὁ Θεός, Τριὰς ἡ παναγία, χαρισαμένη κόσμῳ, Λουκᾶν δι᾽ οὗ τὴν γνῶσιν, τελειοτέραν ἔσχομεν.

*Καὶ νῦν, Θεοτοκίον.*

Δέσποινα ἀγαθή, δοξάζομεν σὸν τόκον, Ὃν ὁ ἱερογράφος, Λουκᾶς ὁ ἀριστόχειρ, χρωματικῶς ἐστήλωσεν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Εὐαγγελίου τοῦ Χριστοῦ συγγραφέα, καὶ Ἀποστόλων ἱστορήσαντα Πράξεις, μορφὴν δὲ Θεομήτορος ἡμῖν χρωματικῶς, παραδόντα ἅπαντες, σὲ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Λουκᾶ εὐφημοῦμεν, καὶ θερμῶς δεόμεθα, τοὺς τιμῶντάς σε πίστει, ὡς ἰατρὸς σωμάτων καὶ ψυχῶν, διαφυλάττοις, ἐκ πάσης κακώσεως.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*
*Ἦχος α΄.*

Φωτὶ τοῦ Θεοῦ Λόγου κατελλαμφθεὶς Λουκᾶ φωτώνυμε, εἰδωλικὴν πλάνην ἔλιπες, καὶ τῇ δυνάμει τοῦ Πνεύματος πυρωθείς, πᾶσαν διῆλθες τὴν οἰκουμένην, ἀποστολικῇ χάριτι ἀναγεννῶν ψυχὰς εἰς Χριστόν, Ὃν νῦν ὁρῶν ὡς ἐπόθει καιομένη ἡ καρδία σου, ἱκέτευε σωθῆναι, τὰς ψυχὰς τῶν τιμώντων σε.

*Ἦχος β΄.*

Τῇ Χάριτι ὑπηχούμενος θεόπνευστε Λουκᾶ, μελισταγὲς μελῴδημα ἐξηρεύξω, κατακηλοῦν τὰς καρδίας τῶν πιστῶν, τὸ θεῖόν σου Εὐαγγέλιον· καὶ τῆς νεοπαγοῦς Ἐκκλησίας τὴν θείαν ἀγάπησιν ἐκθέμενος, πυροῖς δροσοβόλως διανοίας φιλοθέους, καὶ μεθιστᾷς λογισμοὺς εἰς ἀποστολικὰς θυσίας. Ὅθεν σοι τὴν εὐχαριστίαν ἀποδιδόντες, αἰτούμεθα διὰ παντὸς πρεσβεύειν, ὑπὲρ τῶν τελούντων τὴν ἱεράν σου πανήγυριν.

*Ἦχος γ΄.*

Πολλοῖς χαρίσμασι κοσμηθεὶς παρὰ Θεοῦ, πάντα ὑπήγαγες εἰς διακονίαν τοῦ Εὐαγγελίου. Ὡς μὲν ἰατρὸς ἀκεσωδύνως θεραπεύων, ὡς δὲ τέχνην λόγου κατέχων, ψυχὰς ἠλίευσας εἰς Χριστόν, καὶ ὡς μύστης τῆς χρωματουργίας, τῇ Ἐκκλησίᾳ παραδοὺς τὴν τῶν εἰκόνων ἁγίαν θεολογίαν. Λουκᾶ στόμα τοῦ Χριστοῦ, καὶ ὑπηρέτα πιστὲ τοῦ στόματος Αὐτοῦ θείου Παύλου, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος δ΄.*

Ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, τὸν πρῶτον λόγον παραδοὺς Λουκᾶ, τῷ φιλοθέῳ καὶ κρατίστῳ Θεοφίλῳ, καὶ τῶν κλεινῶν συναποστόλων σου τὰς Πράξεις ἱστορικῶς ἐκτιθείς, δευτέρως συνεπλήρωσας. Ὅθεν ὡς δίπλακον διαθήκην τούτους κατέχοντες, τιμῶμέν σε ὡς συγγραφέα



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

χαριτόβρυτον, καὶ τὰς εὐχάς σου αἰτούμεθα, ὥστε ποιεῖν ἅπερ ἀναγινώσκομεν, εἰς γνῶσιν Κυρίου, καὶ ζωὴν τὴν αἰώνιον.

*Δόξα. Ἦχος πλ.α΄.*

Τὴν δίφωτον λυχνίαν σου τῇ Ἐκκλησίᾳ δωρησάμενος Λουκᾶ, τὴν οἰκουμένην πᾶσαν καταφωτίζεις, πρὸς τὴν τοῦ Κυρίου ἐπίγνωσιν. Ὅνπερ οὖν ἐν Ἐμμαοὺς συμπορευόμενόν σοι καὶ ὁμοτράπεζον ἔσχες ἀναστάντα, καὶ ἡμᾶς ἀξίωσον εὑρεῖν ἐν οὐρανοῖς Ἄρτον καινὸν καὶ Ποτήριον ζωῆς αἰωνίου, σαῖς ἱκεσίαις καὶ δεήσεσι.

*Καὶ νῦν. Μακαρίζομέν σε.*

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

*Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.*

Λουκᾶν τὸν θαυμαστόν, ἐπαινέσωμεν ὕμνοις, ὡς δίκρουνος πηγή, Ἐκκλησίαν ποτίζει, τοῖς λόγοις τῆς Χάριτος, οὓς πανσόφως συνέγραψε, καὶ θεότητα ἀνακηρύττων Κυρίου, τοῦ ἑκούσιον, ἀνειληφότος τὴν σάρκα, καὶ ταύτην θεώσαντος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Σεσάρκωται ἐκ σοῦ, Παναγία Παρθένε, ὁ Λόγος τοῦ Πατρός, ἐπελεύσει τοῦ θείου, καὶ πάντα ἁγιάζοντος, Παρακλήτου ὡς γέγραφεν, ὁ θεσπέσιος, ἱερογράφος σου Κόρη, οὗ τὴν πάντιμον, μνήμην τελοῦντες συμφώνως, τὸν τόκον σου δοξάζομεν.

*Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Τὴν μωρὰν ἀπήρνησαι, καὶ κενολόγον, ὦ Λουκᾶ θρασύτητα, συσταυρωθεὶς τῷ Ἰησοῦ, καὶ θείῳ Παύλῳ ἑπόμενος, πλήθη προσῆξας, Χριστῷ τῇ σοφίᾳ σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Φῶς τοῦ κόσμου τέτοκας, Παρθενομῆτορ, τὸν Χριστὸν καὶ Κύριον, οὗ ἐμπλησθεὶς θεῖος Λουκᾶς, τετυφλωμένους ἐφώτισεν, ἐκ πλάνης σκότους, ἑλκύσας τῇ Χάριτι.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν & Λόγον.*

Ἀκριβῶς τοῦ Πρόδρόμου θεῖε Λουκᾶ, ὑποθέμενος γέννησιν θαυμαστήν, Χριστοῦ μου τὴν σάρκωσιν, ἐκ Παρθένου διήγησαι, τὴν ναῷ δὲ ὡς βρέφους, Αὐτοῦ ὑπαπάντησιν, ἱεροῦ τε εἶτα, τὴν πάνσοφον ζήτησιν· ἐφεξῆς τοῦ θείου, βαπτισμοῦ ἱστορίαν, ἐρήμου τὴν πείραξιν, καὶ θαυμάτων ἐνέργειαν, σὺν τοῖς λόγοις τῆς Χάριτος, οὓς πάθει τοῦ σταυροῦ ἀναστάς, καταλείψας, εἰρήνην ἀνείληπται, ὅθεν ἥξει καὶ πάλιν, τὴν κρίσιν ποιήσασθαι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Ἐπιγνοὺς Θεομῆτορ δόξαν τὴν σήν, ἀνιστόρησε ταύτην θεοπρεπῶς, Λουκᾶς ὁ θεσπέσιος, καὶ μορφήν σου τὴν πάγκαλλον, ἐν εἰκόνι ἀφῆκεν, ἡμῖν παραμύθιον, τοῖς τιμῶσί σε πόθῳ, καὶ πίστει προσπίπτουσιν· οὓς διαφυλάττοις, ἐξ ἐχθρῶν ἀοράτων, πληροῦσα τῆς Χάριτος, τὰς καρδίας ὡς ἔχουσα, δωρεῶν πλοῦτον ἄσυλον, καὶ πάντας ἀξιώσαις Ἁγνή, κληρονόμους Υἱοῦ σου γενήσεσθαι, καὶ θεάσαθαι τούτου, τὸ πάμφωτον Πρόσωπον.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον. Εἰς πᾶσαν τὴν γῆν...
Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...
Εὐαγγέλιον· τὸ ἀποστολικόν.
Ὁ Ν΄ ψαλμός.
Δόξα. Ταῖς τοῦ Ἀποστόλου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

*Στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β΄.*

Τὴν σὴν φωτώνυμον Λουκᾶ τελοῦντες σήμερον μνήμην, ὡς Ἀποστόλῳ τοῦ Χριστοῦ καὶ Εὐαγγελιστῇ ἱερογράφῳ, προσπίπτομεν λέγοντες· μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς τὸν φιλάνθρωπον Δεσπότην, ὅπως εὕρωμεν ἔλεος ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως, καὶ μερίδα σχῶμεν, ἐν τῷ φωτὶ τοῦ Προσώπου Αὐτοῦ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Οἱ κανόνες· ὁ τοῦ Μηναίου καὶ ὁ παρὼν νεοσύνθετος, οὗ ἡ ἀκροστιχίς:**

*"Λουκᾶ, σοὶ ᾄδω, Χριστοῦ μου τρίτον στόμα. Ἀ(θανάσιος)".*

*Ὠδὴ α΄. Ἦχος πλ.α΄. Τῷ σωτῆρι Θεῷ.*

Λῦσον Λουκᾶ τὴν ἀχλύν, τῶν ψυχικῶν ὀφθαλμῶν, καὶ δίδου χάριν θείου Πνεύματος, ὅπως ὑμνήσω χαίρων θείαν μνήμην σου, καὶ λάβω συγχώρησιν, τῶν πολλῶν παραπτωμάτων μου.

Ὁ ἰατρὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων Λουκᾶ, ψυχῆς εἰδώς σου τὴν εὐγένειαν, εἰς φῶς ἐθνῶν πανσόφως σε ἐζώγρησεν, τοῦ Πνεύματος χάριτι, καταφλέξας σου τὴν ὕπαρξιν.

Ὑψώσας ἄνω τὸν νοῦν, καὶ τὴν καρδίαν Λουκᾶ, τοῖς Ἀποστόλοις συνηρίθμησαι, τῇ κοσμικῇ δὲ στοιχειώσει πῦρ τὸ ἄϋλον, σειμμείξας διάκονος, Ἐκκλησίας θεῖος γέγονας.

*Θεοτοκίον*

Κύριον πάντων Ἁγνή, συνειληφυῖα γαστρί, τοῦ Ἀρχαγγέλου σοι μηνύσαντος, χαρὰ τοῦ κόσμου ἀποδέδειξαι Πανάμωμε, Λουκᾶ ἱστορήσαντος, σοῦ σωτήριον συνέργειαν.

*Ὠδὴ γ΄. Δυνάμει τοῦ Σταυροῦ σου.*

Αὐτὸς ὁ Ἰησοῦς ἀναστάς, συνεπορεύετο βαδίζοντι, μετὰ Κλεόπα ὦ Λουκᾶ καὶ διηρμήνευεν, ὑμῖν ἅπερ πέπονθε, ὡς Γραφαὶ προαγορεύουσι.

Σταδίους τοῦ Θεοῦ ἀποστάς, σὲ ἱκετεύω θεασάμενον, εἰς Ἐμμαοὺς τὸν ἀναστάντα Κύριον, Λουκᾶ τοῦτον ἴδοιμι, νοερῶς καὶ Δείπνου τύχοιμι.

Ὁ χρόνος τῆς ζωῆς συντμηθείς, πρὸς τὴν ἑσπέραν ἤδη κέκλικε, διὸ τὸν Ἥλιον Χριστὸν ἱκέτευε, φωτίσαι καρδίαν μου, ὦ Λουκᾶ φωτοειδέστατε.

*Θεοτοκίον*

Ἱμείρομαι Παρθένε Χριστοῦ, ἀλλὰ ὁ πλάνος δελεάζει με, καὶ πρὸς ἀπώλειαν βιαίως ἕλκει με, ἀφ᾽ οὗ ῥῦσαι Πάναγνε, τὴν καρδίαν μου στηρίζουσα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Κάθισμα.*
*Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.*

Θεοῦ λόγου συνέταξας συγκατάβασιν, τῇ τοῦ Πνευματος χάριτι ὑπηχούμενος, καὶ ᾿Αποστόλων ἀκριβῶς τὰς Πράξεις ἔγραψας, ὦ Λουκᾶ ἀγαπητέ, θείου Παύλου ἰατρέ, διό σοι ἡ ᾿Εκκλησία, τὴν σὴν σεβάσμιον μνήμην, ἐπιτελεῖ εὐγνωμονοῦσά σε.

*Δόξα. Καὶ νῦν.*
*Θεοτοκίον, ὅμοιον.*

Πρῶτος χρώμασι θεῖε Λουκᾶ ἱστόρησας, τῆς Πανάγνου Δεσποίνης σεπτὸν ἐκτύπωμα, καὶ παρέδωκας ἡμῖν ὡς τιμαλφέστατον, θησαυρὸν πνευματικόν, τῶν εἰκόνων ἱεράν, τὴν τέχνην δι᾿ ἧς ἐκ τύπων, θεώμεθα τοῦ Δεσπότου, ἄϋλον κάλλος καὶ ἀνέκφραστον.

*᾿Ωδὴ δ΄. Εἰσακήκοα τὴν ἀκοήν.*

᾿Αντιόχειαν ἀφείς, Πνεύματι θείῳ πτερωθείς, οἰκουμένης γέγονας ἀπόστολος, ἐκδιδάσκων, τοῦ Σωτῆρος τὴν ἐνανθρώπησιν.

Δῶρον ὡς πολυτελές, ὀφθαλμῶν τῶν ψυχικῶν, φωτισμὸν Λουκᾶ ἐκληροδότησας, τοῖς λαοῖς, ἰατρὲ φιλάνθρωπε.

῾Ως μαχαίρᾳ τμητικῇ τοῦ Σωτῆρος ᾿Ιησοῦ, Εὐαγγέλιον ᾿Απόστολε χρησάμενος, τῶν παθῶν τὰ ἐκβλαστήματα ἀπεκάθηρας.

*Θεοτοκίον*

Χαίρει ἅπας τῶν πιστῶν, ὁ λαὸς Μῆτερ ῾Αγνή, ὅτι πρέσβιν πρὸς Θεὸν κέκτηται, αἰτουμένην, καθ᾿ ἑκάστην μέγα ἔλεος.

*᾿Ωδὴ ε΄. ᾿Ορθρίζοντες βοῶμέν σοι.*

῾Ρευμάτων τῶν τῆς Χάριτος ποίησον, μετόχους ἡμᾶς, σὺ γὰρ οἶδας τρόπον ἄριστα, δι᾿ οὗ ψυχαί, Χριστῷ Λουκᾶ ἥνωνται.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰάσαις καὶ ἡμῶν τὰς ψυχὰς πάνσοφε, Λουκᾶ ἰατρέ, παρεχόμενος κολλύριον ἁγνόν, τοῦ Κυρίου, φόβον τὸν σωτήριον.

Συνέκδημος Παύλου γενόμενος, ἔρωτι θείῳ Λουκᾶ, ἀγάπην ὑπάναψον, ἀποστολικῶς, ταῖς ψυχαῖς ἡμῶν.

Θεοτοκίον

Ταλαίπωρος ἐγὼ ἄνθρωπος, σοὶ καταφεύγω Σεμνή, ἀπὸ κοπρίας με παθῶν ἀνάστησον, χιτῶνα ἁγιότητος ὑπενδύουσα.

Ὠδὴ στ΄. Ἐκύκλωσέ με ἄβυσσος.

Ὁ λόγος σου μακάριε, ἐβλάστησε σωτήρια δράγματα, ὡς σπόρος πολύφορος, ψυχαῖς ἐγκατασπαρείς, Χριστὸν ποθούσαις, Σωτῆρα καὶ Κύριον.

Ὑπέρκειται νοήματος, τοῦ Λόγου ἡ φιλάνθρωπος σάρκωσις, γραφαῖς σου δὲ Ἅγιε, ταῖς θείαις μυούμεθα, τοῦ μυστηρίου, τὸ μέγεθος τὸ ἄπειρον.

Μὴ παύσῃ δεόμενος, Λουκᾶ ὑπὲρ ἡμῶν τῶν τιμώντων σε, λυθῆναι τὴν σκότωσιν, παθῶν τῶν κωλυτικῶν, τῆς θέας τῆς ζωηρᾶς, Χριστοῦ τοῦ Παντοκράτορος.

Θεοτοκίον

Ὁ νοῦς μου Πανάμωμε, τῆς μνήμης τοῦ Κυρίου ἀφίσταται, ἐγὼ δὲ κραυγάζω σοι· καθήλωσον Δέσποινα, Σταυρῷ Χριστοῦ, καὶ λόγον καὶ πράξεις μου.

*Ὠδὴ ζ΄. Ὁ ἐν καμίνῳ τοῦ πυρός.*

Ὑγείωσας ἐν Χριστῷ, Λουκᾶ νοσούντων πλήθη πίστει, καὶ ἔπεισας τοῦ βοᾶν· εὐλογητὸς ὁ Θεός.

Τριάδος ἑναδικῆς, τὴν πίστιν ὡς κολλύριον ἔχων, μετέστησας λαοὺς πρὸς τὸ Φῶς, ὡς ἰατρὸς θαυμαστός.

Ῥευμάτων δαιμονικῶν, ἀπήλλαξας Λουκᾶ διδαχαῖς σου, καὶ δόγμασι τὰς ψυχάς, σῶν μαθητῶν ἐστερέωσας.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον*

Ἰάτρευσον Ἀγαθή, τὸν Ἰατρὸν Χριστὸν τεκοῦσα, ψυχήν μου τὴν νοσηράν, ταῖς μητρικαῖς σου εὐχαῖς.

*Ὠδὴ η΄. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.*

Τῇ ἐπικλήσει Χριστοῦ, ὡς φαρμάκῳ χρώμενος Λουκᾶ, ὡς Σαμαρείτης πληγάς, ἀνθρώπων ἐθεράπευες ἀεί, πείθων ἐκ καρδίας λέγειν· τὸν Κύριον ὑμνεῖτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ θεοῤῥήμων καὶ μέγας Παῦλος, ἀγαπητόν σε Λουκᾶ ἐκάλεσε, καὶ γὰρ αὐτοῦ ἐδείχθης ἄλλος, ποὺς καὶ χεὶρ καὶ γλῶσσα ἐν Χριστῷ, μήκη διατρέχων, καὶ πλάτη γῆς ἐνθέως, κομίζων σωτηρίαν.

Νόσους ψυχῶν ἐκ δυσώδους, ἁμαρτίας γεννωμένας Λουκᾶ, τοῦ Παρακλήτου δυνάμει, ἀποδιώκεις ὡς Θεοῦ ἰατρός, καὶ ἀνακαινίζεις, φωτὶ Εὐαγγελίου, τοὺς πόθῳ σε τιμῶντας.

*Θεοτοκίον*

Σύ μου Παρθένε ὑπάρχεις, πρὸς Χριστοῦ μεσῖτις ἀγαθή, καὶ γὰρ πληθὺς τῶν κακῶν μου, ἐμποδίζει ἀφιέναι φωνήν, σῶσον οὖν με Μῆτερ, καὶ στήριξον σφυρά μου, ὅπως ἀεὶ ὑμνῶ σε.

*Ὠδὴ θ΄. Σὲ τὴν ὑπὲρ νοῦν*

Τί σοι ἀγαθὸν ἀντίδωρον δώσω, Λουκᾶ ἰατρέ; τὴν ψυχήν μου ποτίζεις γάρ, διστόμῳ κρατῆρί σου, ὃν ὡς πλοῦτον, πιστοῖς πᾶσι κατέλιπες.

Ὅταν ὁ Κριτὴς ἐλεύσηται ἐν δόξῃ, μνησθείης Λουκᾶ, τῶν τιμώντων τὴν μνήμην σου, τὴν πάμφωτον σήμερον, καὶ Αὐτόν, γεραιρόντων ὅση δύναμις.

Μεῖνον μεθ᾽ ἡμῶν ὦ Λόγε Θεοῦ, ἑσπέρα ἐστί, καὶ ψυχαὶ ἐκζητοῦσί σε, τῷ πόθῳ καιόμεναι, ὡς Λουκᾶς, ὁ θεόπτης ἐκβοῶμέν σοι.

Ἄνω Ἐμμαοὺς Λουκᾶ κατοικῶν, Χριστὸν καθορᾷς, Ὃν ἱκέτευε Ἅγιε, τοὺς σὸν Εὐαγγέλιον, καὶ Πράξεις μελετῶντας ὁρᾶν μυστικῶς.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

### *Θεοτοκίον*

Ἄχραντε Σεμνὴ εἰκόνα τὴν σήν, ἣν θεῖος Λουκᾶς, θαυμαστῶς ἐζωγράφησεν, συχνῶς κατασπάζομαι, ἐκζητῶν, πρεσβείαν σου τὴν ἄμαχον.

### *Στίχοι*

Λουκᾶ ἰατρὲ καὶ ἱστοριογράφε,
Χριστοῦ εἰκόνα γράψον ἐν τῇ ψυχῇ μου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ